δ΄ τοῦ ε΄ τοῦ ς΄ ἄρα τριγώνων. ἀνάλογόν εἰσιν αἱ πλευραί· ἰσογώνια ἄ-
ρα ἐστὶ τὰ ΛΤΒ ΝΟΖ τρίγωνα· ὥστε καὶ ὅμοια· καὶ πυρα-
μὶς ἄρα ἧς βάσις μέν ἐστι τὸ ΒΛΤ τρίγωνον. κορυφὴ
δὲ τὸ Λ σημεῖον. ὁμοία ἐστὶ πυραμίδι ἧς βάσις μὲν
τὸ ΖΝΟ τρίγωνον. κορυφὴ δὲ τὸ Ν σημεῖον· ὑπὸ γὰρ
ὁμοίων ἐπιπέδων περιέχονται ἴσων τὸ πλῆθος· αἱ
δ΄ τοῦ η΄ τοῦ ιβ΄ δὲ ὅμοιαι πυραμίδες καὶ τριγώνους ἔχουσαι βάσεις, ἐν
τριπλασίονι λόγῳ εἰσὶ τῶν ὁμολόγων πλευρῶν· ἡ
ἄρα ΒΛΤ πυραμὶς πρὸς τὴν ΖΝΟ πυραμίδα τριπλα-
σίονα λόγον ἔχει ἤπερ ἡ ΒΛ πρὸς τὴν ΖΝ. ὁμοίως δὴ
ἐπιζευγνύντες ἀπὸ τῶν Α Χ Δ Φ Γ Υ ἐπὶ τὸ Κ εὐθείας καὶ
ἀπὸ τῶν Ε Σ Θ Ρ Η Π ἐπὶ τὸ Μ καὶ ἀνιστάντες ἐπὶ τῶν τριγώ-
νων πυραμίδας τὰς αὐτὰς κορυφὰς ἐχούσας τοῖς
κώνοις. δείξομεν ὅτι καὶ ἑκάστη τῶν ὁμοταγῶν πυρα-
μίδων πρὸς ἑκάστην ὁμοταγῆ πυραμίδα τριπλα-
σίονα λόγον ἕξει ἤπερ ἡ ΒΛ ὁμόλογος πλευρὰ πρὸς
τὴν ΖΝ ὁμόλογον πλευράν. τουτέστιν ἤπερ ἡ ΒΔ πρὸς
ΖΘ. ἀλλ' ὡς ἕν, τῶν ἡγουμένων πρὸς ἕν, τῶν ἑπομέ-
δ΄ τοῦ ιβ΄ τοῦ ε΄ νων. οὕτως ἅπαντα τὰ ἡγούμενα πρὸς ἅπαντα
τὰ ἑπόμενα· ἔστιν ἄρα καὶ ὡς ἡ ΒΛΤ πυραμὶς πρὸς
τὴν ΖΝΟ πυραμίδα. οὕτως ἡ ὅλη πυραμὶς ἧς βάσις
τὸ ΑΤΒΥΓΦΔΧ πολύγωνον. κορυφὴ δὲ τὸ Λ ση-
μεῖον. πρὸς τὴν ὅλην πυραμίδα ἧς βάσις μέν ἐστι τὸ
ΕΟΖΠΗΡΘΣ πολύγωνον. κορυφὴ δὲ τὸ Ν σημεῖον· ὥσ-
τε καὶ πυραμὶς ἧς βάσις μὲν τὸ ΑΤΒΥΓΦΔΧ. κορυφὴ
δὲ τὸ Λ πρὸς τὴν πυραμίδα ἧς βάσις μὲν τὸ ΕΟΖΠΗΡΘΣ

:σημ. Τριπλασίονα λόγον ἔχει· ἡ πυρ. ἡ ΒΔ πρὸς τὴν ΖΘ. ἀπὸ κ

πολύγωνον. κορυφὴ δὲ τὸ Ν· ἐναλλὰξ ἄρα ὡς ὁ κῶνος
οὗ βάσις μέν ἐστιν ὁ ΑΒΓΔ κύκλος. κορυφὴ δὲ τὸ Λ
πρὸς τὴν ἐν αὐτῷ πυραμίδα. ἧς βάσις μὲν τὸ ΑΤΒΥ
ΓΦΔΧ πολύγωνον κορυφὴ δὲ τὸ Λ. οὕτως τὸ Ξ στερε-
ὸν πρὸς τὴν πυραμίδα ἧς βάσις μέν ἐστι τὸ ΕΟΖΠΗΡΘΣ
πολύγωνον. κορυφὴ δὲ τὸ Ν· μείζων δὲ ὁ εἰρημένος
κῶνος τῆς ἐν αὐτῷ πυραμίδος· ἐμπεριέχει γὰρ αὐ-
τήν. μεῖζον ἄρα καὶ τὸ Ξ στερεὸν τῆς πυραμίδος ἧς βάσις
μέν ἐστι τὸ ΕΟΖΠΗΡΘΣ πολύγωνον. κορυφὴ δὲ
τὸ Ν. ἀλλὰ καὶ ἔλαττον· ὅπερ ἐστὶν ἀδύνατον· οὐκ ἄρα
ὁ κῶνος οὗ βάσις μέν ἐστιν ὁ ΑΒΓΔ κύκλος κορυφὴ δὲ
τὸ Λ σημεῖον πρὸς ἔλασσόν τι τοῦ κώνου στερεὸν οὗ βά-
σις μὲν ὁ ΕΖΗΘ κύκλος κορυφὴ δὲ τὸ Ν σημεῖον τρι-
πλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. ὁμοίως
δὴ δείξομεν ὅτι οὐδὲ ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλασσον
τι τοῦ ΑΒΓΔΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει
ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ. λέγω δὴ ὅτι οὐδὲ ὁ ΑΒΓΔΛ
κῶνος πρὸς μεῖζόν τι τοῦ ΕΖΗΘΝ κώνου στερεὸν τρι-
πλασίονα λόγον ἔχει ἤπερ ἡ ΒΔ πρὸς τὴν ΖΘ. εἰ γὰρ
δυνατὸν ἐχέτω πρὸς μεῖζον τὸ Ξ· ἀνάπαλιν ἄρα τὸ Ξ
στερεὸν πρὸς τὸν ΑΒΓΔΛ κῶνον τριπλασίονα λόγον
ἔχει ἤπερ ἡ ΖΘ πρὸς τὴν ΒΔ. ὡς δὲ τὸ Ξ στερεὸν πρὸς
τὸν ΑΒΓΔΛ κῶνον· ⁒ πρὸς ἔλασσόν τι τοῦ ΑΒΓΔ κώνου στε-
ρεόν. καὶ ὁ ΕΖΗΘΝ κῶνος πρὸς ἔλασσόν τι τοῦ
ΑΒΓΔΛ κώνου στερεὸν τριπλασίονα λόγον ἔχει ἤπερ
ἡ ΖΘ πρὸς τὴν ΒΔ· ὅπερ ἀδύνατον ἐδείχθη. οὐκ ἄρα

ὡς ὁ κῶνος οὗ βάσις ὁ ΑΒΓΔ κύκλος. κορυφὴ τὸ Λ. πρὸς τὸ Ξ στερεὸν τριπλασίονα λόγον ἔχει ἡ ΒΔ πρὸς τὴν ΖΘ. λέγει ὁ κῶνος οὗ βάσις ὁ ΑΒΓΔ κύκλος. κορυφὴ δὲ τὸ Λ. πρὸς τὸ Ξ στερεόν. οὕτως ἡ πυραμὶς ἧς βάσις τὸ ΑΤΒΥΓΦΔΧ πολύγωνον. κορυφὴ τὸ Λ πρὸς τὴν πυραμίδα ἧς βάσις τὸ ΕΟΖΠΗΡΘΣ πολύγωνον. κορυφὴ τὸ Ν.

⁒ :οὕτως ὁ ΕΖΗΘ ΝΚΜ,

BIBLIOTHECA BODLEIANA